**Cultural Imperialism in the *Aethiopica***

**Elizabeth Deacon**

CAMWS 2019, elizabeth.deacon@colorado.edu

1. Ethiopia in *Iliad* 1.421-427:

   ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι
   μήνι᾽ Ἀχαιοῖσιν, πολέμου δ᾽ ἀποπαύεο πάμπαν:
   Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ᾽ ἀμύμονας Αἰθιοπῆας
   χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ᾽ ἅμα πάντες ἕποντο:
   δωδεκάτῃ δέ τοι αὖτις ἐλεύσεται Οὔλυμπον δέ,
   καὶ τότ᾽ ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
   καί μιν γουνάσομαι καί μιν πείσεσθαι ὀΐω.

2. Phaethon in Ovid's *Metamorphoses* 2.227-2.236:

   Tum vero Phaethon cunctis e partibus orbem
   adspicit accensum nec tantos sustinet aestus,
   ferventesque auras velut e fornace profunda
   ore trahit currusque suos candescere sentit;
   et neque iam cineres eiectatamque favillam
   ferre potest calidoque involvitur undique fumo,
   quoque eat, aut ubi sit, picea caligine tectus
   nescit et arbitrio volucrum raptatur equorum.
   Sanguine tum credunt in corpora summa vocato
   Aethiopum populos nigrum traxisse colorem.

3. The queen lists the Ethiopian's ancestors in *Aethiopica* 4.8.3:

   Ἡμῖν πρόγονοι θεῶν μὲν Ἥλιός τε καὶ Διόνυσος ἡρώων δὲ Περσεύς τε καὶ Ἀνδρομέδα καὶ Μέμνων ἐπὶ τούτοις.

4. The queen explains Charicleia's appearance *Aethiopica* 4.8.5:

   Ὁ μὲν δὴ μέχρι τοῦ τόκου χρόνος ἑορτὴ πάνδημος ἦν καὶ χαριστήριοι θυσίαι τοῖς θεοῖς ὡς τοῦ βασιλέως διάδοχον τοῦ γένους ἐλπίζοντος· ἐπειδὴ δέ σε λευκὴν ἀπέτεκον, ἀπρόσφυλον Αἰθιόπων χροιὰν ἀπαυγάζουσαν, ἐγὼ μὲν τὴν αἰτίαν ἐγνώριζον ὅτι μοι παρὰ τὴν ὁμιλίαν τὴν πρὸς τὸν ἄνδρα προσβλέψαι τὴν Ἀνδρομέδαν ἡ γραφὴ παρασχοῦσα καὶ πανταχόθεν ἐπιδείξασα γυμνὴν, ἄρτι γὰρ αὐτὴν ἀπὸ τῶν πετρῶν ὁ Περσ εὺς κατῆγεν, ὁμοιοειδὲς ἐκείνῃ τὸ σπαρὲν οὐκ εὐτυχῶς ἐμόρφωσεν.

5. The allies of the Ethiopians, *Aethiopica* 9.15.2-5:

   Ἀντεπῆγε δὲ καὶ ὁ Ὑδάσπης τοῖς μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως Πέρσαις τε καὶ Μήδοις τοὺς ἐκ Μερόης ἀντιτάττων, ἄνδρας ὁπλομάχους τε καὶ τῆς κατασυστάδην χειρονομίας ἐπιστήμονας· τοὺς δὲ ἐκ τῆς Τρωγλοδυτικῆς καὶ τοὺς τῇ κινναμωμοφόρῳ προσοίκους, εὐσταλεῖς τε τὴν ὅπλισιν καὶ ποδώκεις καὶ τοξείαν ἀρίστους, τοῖς κατὰ τὸ λαιὸν τῶν ἐναντίων σφενδονήταις τε καὶ ἀκοντισταῖς παρενοχλήσοντας ἀπεκλήρωσε. Τὸ δὲ μεσεῦον τοῦ Περσικοῦ τοῖς καταφράκτοις μεγαλαυχούμενον καταμαθών, ἑαυτόν τε καὶ τοὺς περὶ αὑτὸν πυργοφόρους ἐλέφαντας ἀντέταξε, τὸ Βλεμμύων καὶ Σηρῶν ὁπλιτικὸν προτάξας καὶ ἃ χρὴ πράττειν παρὰ τὸ ἔργον ἐπιστείλας.

6. The wedding procession, *Aethiopica* 10.41.3:

   Στεφθέντες οὖν οἱ νέοι λευκαῖς ταῖς μίτραις, τήν τε ἱερωσύνην [ἅμα τῷ Ὑδάσπῃ] ἀναδησάμενοι καὶ τὴν θυσίαν αὐτοὶ καλλιερήσαντες, ὑπὸ λαμπάσιν ἡμμέναις, αὐλῶν τε καὶ συρίγγων μελῳδίαις, ἐφ' ἅρματος ἵππων μὲν ὁ Θεαγένης ἅμα τῷ Ὑδάσπῃ (ὁ Σισιμίθρης δὲ καθ' ἕτερον ἅμα τῷ Χαρικλεῖ), βοῶν δὲ λευκῶν ἡ Χαρίκλεια ἅμα τῇ Περσίννῃ, σὺν εὐφημίαις καὶ κρότοις καὶ χοροῖς ἐπὶ τὴν Μερόην παρεπέμποντο, τῶν ἐπὶ τῷ γάμῳ μυστικωτέρων κατὰ τὸ ἄστυ φαιδρότερον τελεσθησομένων.

7. The king asks the sage what to do about the sacrifical victims turning out to be his long-lost daughter and her fiancé, *Aethopica* 10.39.1:

   τί χρὴ δρᾶν, ὦ σοφώτατε, εἰπόντος, ἀρνεῖσθαι τὴν τῶν θεῶν θυσίαν οὐκ εὐσεβες, σφαγιάζειν τοὺς παρ᾽αὐτῶν δωρηθέντας οὐκ εὐαγες. ἐπινοητέον ἡμῖν τὸ πρακτέον.

Select Bibliography


Konstan, D. 1994. *Sexual Symmetry: Love in the Ancient Novel and Related Genres.* Princeton University Press.

Kuch, H. 2003. “A Study on the Margin of the Ancient Novel: "Barbarians" and Others.” *The Novel in the Ancient World, Revised Edition* ed. G. Schmeling. Brill.

Lowe, N. 2000. *The Classical Plot and the Invention of Western Narrative*. Cambridge University Press.

Oakley, J. and R. Sinos. 1993. *The Wedding in Ancient Athens.* University of Wisconsin Press.

Whitmarsh, T. 2011. *Narrative and Identity in the Greek Novel.* Cambridge University Press.